# LAPIDAIRE NAUTIQUE

## DIT D'ASTRAMPSYCHUS

Ὅσοι τῶν λίθων εἰς ἀνακωχὴν ζάλης καὶ τρικυμίας θαλάσσης.

1] Ἄνθραξ καὶ χαλκηδόνιος ἀπὸ παιδίου φορούμενος ναυαγήσαντας ὑποβρυχίους οὐκ ἐᾷ γενέσθαι.

2] Ἀδάμας καὶ ὁ γλαῦκος καλούμενος, ὁ ἐν Μακεδονίᾳ περὶ τὸ πάγιον ὄρος, ὃ χαλάζῃ ἔοικεν ἀποτρόπαιος μεγίστου κλύδωνος καὶ τυφῶνος · τὰ ὅμοια δὲ δύναται καὶ ὁ παρὰ Ἰνδοῖς εὑρισκόμενος ὁ τῷ εἴδει πυρρὸς καὶ ἀργυροειδής · κρείσσων δὲ ὁ σιδηρίζων.

3] (F. 64 r.) Βήρυλλος ὁ διαυγὴς καὶ λαμπρός, ὁ θαλασσόχρους · γλυφέσθω ἐν αὐτῷ Ποσειδῶν ἐφ' ἅρματι διπώλῳ βεβηκὼς καὶ ἐν τοῖς διὰ θαλάσσης ὁδεύουσιν ἀπήμων ταῖς ταραχαῖς ἔστω.

4] Δρύοψ, λίθος ἔχων τὸ μέσον λευκόν · ἁρμόζει καὶ αὐτὸς πρὸς εὔπλοιαν.

5] Κουράλιος σὺν δέρματι φώκης εἰς τὸ καρχήσιον τοῦ πλοίου περιαπτόμενος, ἀντιπάσχει ἀνέμοις καὶ κλύδωσι, καὶ ἀκαταστασίαις παντοίαις ὑδάτων.

6] Ὀφιόκοιλος λίθος γενόμενος ἐν τοῖς ὄρεσι τῆς Αἰγύπτου · ἔχων ἐν ἑαυτῷ φολίδας διεζωσμένας, καθάπερ ὄφεως κοιλία. Τοῦτον ἐάν τις ἔχῃ, ἀκίνδυνος ἐν ζάλῃ θαλάσσης διαφυλαχθήσεται.

3. Lapidaire anonyme publié par le cardinal Pitra, *Spicilegium Solesmense*, t. III, 1856, p. 393), sous le nom d'Astrampsychus, sans doute parce qu'il est placé dans les mss. après des textes précédés de ce nom ; — par Hermann Graf (*Mélanges gréco-romains*, Saint-Pétersbourg, 1859, p. 552). — Recollationné par P. Tannery, sur le ms. de Paris 2424 (XIV$^{e}$ siècle), fol. 100 v. (= *a*), et par nous sur les mss. 2421, fol. 63 v. (= *b*) et 2422 (XVI$^{e}$ s.) page 145 (= *c*).

4. χαλχηδώνιος *a*, *b*, *c*, Pitra.

6. πάγιον ὄρος] Πάγιον ὄ. Pitra. F. l. Ἅγιον Ὄρος (Ἄθως) ?

8. πυρὸς *a*, *b*, *c*.

10. βήρυλλος] Cp. Damigéron, art. XXXV. — θαλασσόχροος Pitra.

13. Δρύοψ] Ἀρύοψ *b*, *c*.

14. κουράλλιος Pitra. Cp. Damigéron, art. VII. Voir aussi l'*Epitomé du lapidaire orphique*, § 12 du Baroccianus. — χαλκήσιον mss., (forme byzantine?) καλχήσιον Pitra. Correxi.

16. ἀφιόκοιλος *a*.

7] Ὀφιανὸς λίθος μέγας οὐ λίαν, ἀλλ' ὑπόχλωρος, εὑρισκόμενος ἐν τῇ Φρυγίᾳ καὶ Γαλατίᾳ · ὃς καὶ πίσσα καλεῖται, διὰ τὸ προστριβόμενον αὐτὸν ὀσμὴν παρέχειν πίσσης. Χρήσιμος δέ ἐστι φορούμενος τοῖς κατὰ θάλασσαν καὶ ποταμοὺς τὴν πορείαν ποιουμένοις.

1. Ὀφιανός] Cp. Damigéron, art. XXV. | 4. ποιουμένους *a*.